δυνάμενος. Εἰ σπάνις δέ ἐστι μύρου ἔν τε τοῖς θείοις βαπτίσμασι, καὶ ἐν τῇ τῶν ναῶν καθιερώσει, καὶ ἐν ἄλλῃ τούτου χρήσει, τῷ εὑρισκομένῳ ὀλιγοστῷ μύρῳ συγκαταμίγνυσθαι ἔλαιον συγκεχώρηται· ὡς ἄν, οὕτω πληθυνθὲν, ἀρκέσῃ ἐκπληρῶσαι τὸν ἁγιασμὸν τοῖς δεομένοις αὐτοῦ.

*Ἐρώτησις.*

Εἰ ἔξεστι τοῖς Ἀρμενίοις, ἐν αἷς πόλεσιν οἰκοῦσι, κατὰ πᾶσαν ἄδειαν κτίζειν Ἐκκλησίας, καὶ εἴτε χρὴ κωλύεσθαι, ἢ ἐᾷν αὐτοὺς ποιεῖν, ὡς βούλονται.

*Ἀπόκρισις.*

Ἐν ταῖς Χριστιανῶν χώραις καὶ πόλεσιν ἐνδέδοται μὲν ἀρχῆθεν οἰκεῖν καὶ ἀλλογλώσσους, καὶ ἑτεροδόξους, ἤγουν Ἰουδαίους, Ἀρμενίους, Ἰσμαηλίτας, Ἀγαρηνοὺς, καὶ λοιποὺς τοιούτους· πλὴν οὐκ ἀναμὶξ μετὰ τῶν Χριστιανῶν, ἀλλὰ κεχωρισμένως· ὅθεν καὶ ἀφορίζονται τόποι ἑκάστῃ τούτων φυλῇ, εἴτε ἐντὸς πόλεων, εἴτε ἐκτὸς, ὥστε τούτοις ἐμπεριγράφεσθαι, καὶ μὴ ἐπέκεινα τούτων τὰς οἰκήσεις αὐτῶν ἐκτείνεσθαι. Ἐπινενόηται δὲ τοῦτο τοῖς πάλαι βασιλεῦσιν, ὡς οἶμαι, τριῶν ἕνεκεν· ἑνὸς μὲν, ἵνα τῷ ἐστενωμένῳ καὶ ἀφωρισμένῳ τῆς τούτων οἰκήσεως λαμβάνωσιν αἴσθησιν, ὡς ἀπόβλητοι διὰ τὴν κατ' αὐτοὺς αἵρεσιν κρίνονται· ἑτέρου δὲ, ἵνα κατὰ μικρὸν, διὰ τὸ συχνῶς ὁμιλεῖν τοῖς Χριστιανοῖς, πρὸς μετάθεσιν ἀπαλλάττωνται· εἰ καὶ μὴ πάντες, ἀλλὰ τινὲς μὲν, ὅσους δὴ ἡ σωτηρία ἠγάπησε· καὶ τοῦ τρίτου, ἵνα τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτῶν οἱ κατὰ βίον χρήζοντες αὐτῶν ἀποφέρωνται. Τοίνυν καὶ οἱ Ἀρμένιοι, εἰ ἐν τόπῳ, ἔνθα περιγράφονται, καὶ ναοὺς κτίζουσι, καὶ τὰ τῆς αἱρέσεως αὐτῶν ἐκτελοῦσι, μενοῦσιν ἀνεπηρέαστοι· τὸ αὐτὸ γὰρ καὶ Ἰουδαίοις πρόσεστι, καὶ Ἰσμαηλίταις, οἰκοῦσιν ἐν πόλεσι χριστιανικαῖς· εἰ δὲ τοὺς ὅρους ὑπερβαίνουσι τῆς ἀφορισθείσης αὐτοῖς συνοικήσεως, οὐ μόνον αὐτοὶ κωλυθήσονται, ἀλλὰ καὶ τὰ οἰκοδομήματα τούτων, ὁποῖα δ' ἂν καὶ ὦσι, καταστραφήσονται· τὸ γὰρ ἀνέτως ἔχειν καὶ εὐπαῤῥησιάστως ἐν τοῖς τοιούτοις, πάλαι ἀπώλεσαν.